τί δήποτε ὁ αὐτὸς νῦν πεποίηκεν; ἔμθροι λοιπὸν τιμῆς ἀπολαύεσθαι ⓐ μὴ πλείονος, ⓐ ὁ ἐλάττονος. ἵν' οὖν μὴ κατ' ἀλλήλων ἐπαίρωνται, καὶ ταῦτα λέγωσι ἃ καὶ πρὸ τούτου, τίς ὅστι μείζων; μηδὲ ἀγανακτῶσι πρὸς ἀλλήλους, πάντων αὐτῶν καθαιρῶ τὰ φρονήματα, λέγων· ὅτι καὶ σφόδρα ἦς μέγας, ὀφείλεις ὅτι τοῦ ἀδελφοῦ μηδὲν μέγα φρονεῖν. καὶ οὐκ εἶπε δὲ μείζον, ὅτι ἐγὼ τοῦ προδότου τοὺς πόδας ἔνιψα, τί μέγα, αἱ ὑμεῖς τοὺς ἀλλήλων; ἀλλὰ διὰ τῶν ἔργων αὐτὸ δηλώσας, ἐδίασεν ἐν τῇ χρίσει τῶν ἀναμφίων λοιπόν. διὰ τοῦτο ἔλεγεν, ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται. τοῦτο γάρ ὅστι τὸ διδάξαι, τὸ διὰ τῶν ἔργων αὐτὸ ποιῆν. πῶς γὰρ οὐκ ἂν τοῦτο τύφου καθέλοι; ποίαν οὐκ ἂν κατώστειεν ἀπόνοιαν καὶ ἀλαζονείαν; ὁ καθημένος ἐπὶ τῶν Χερουβίμ, τοὺς πόδας ἔνιψε τοῦ προδότου· σὺ δ' ἂν θερμὸς γῆ καὶ σποδὸς ὢν καὶ πέφυκα καὶ κόνις, ἐπαίρεις σεαυτὸν, καὶ μέγα φρονεῖς; καὶ πόσης οὐκ ἂν εἴης ἄξιος γέενης; εἶτ' οὖν εἶπως ἐπιθυμεῖς μεγάλου φρονήματος, δεῦρο ἐγώ σοι δείξω ὁδόν. οὐδὲ γὰρ οἶδας τί ποτέ ὅστιν. ὁ τοίνυν τοῖς πλουσίοις ὡς μεγάλοις προσέχων, οὗτος ψυχῆς ὅστιν ἀτελοῦς. ὥστε οὐδὲ ταπεινοφροσύνη φαίνοιτ' ἄν, εἰ μὴ μετὰ μεγαλοψυχίας· οὐδὲ φύσημα, εἰ μὴ ἀπὸ μικροψυχίας. καθάπερ γὰρ ⓐ παῖδες ⓐ μικροὶ πρὸς τὰ ἀτελῆ τῶν προγυμνασμάτων ἐπείσωται, πρὸς σφαίρας καὶ τροχοὺς καὶ ἁρπαγάλους κεχηνότες, τῶν μεγάλων οὐδὲ ἔννοιαν λαβεῖν δύνανται· οὕτω δὴ καὶ ἐνταῦθα, ὁ μὲν φιλόσοφος οὐδὲν ἡγήσεται τὰ πρόσκαιρα (σχολῇ γὰρ αὐτὸς αἰρήσεται καταφρονεῖν, οὐδὲ πρὸς ἕτερον αὐτὰ λαβεῖν) ὁ δὲ μὴ τοιοῦτος ἑαυτὸν πείσεται, πρὸς ἀράχνας καὶ σκιὰς καὶ ὀνείρατα καὶ τὰ τούτων ἀθρωέστερα πράγματα ἐπτοημένος.

16 Ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν.

17 Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά. 18 Οὐ περὶ πάντων ὑμῶν λέγω, ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ, ὅτι ὁ τρώγων μετ' ἐμοῦ Ⓦ ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ [τὴν] πτέρναν αὐτοῦ. 19 Ἀπ' ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα πιστεύσητε ὅταν γένηται ὅτι ἐγώ εἰμι. 20 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ λαμβάνων ἐάν τινα πέμψω ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων λαμβάνει τὸν πέμψαντά με.

21 Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐταράχθη τῷ πνεύματι, καὶ ἐμαρτύρησε καὶ εἶπεν· Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. 22 Ἔβλεπον εἰς ἀλλήλους οἱ μαθηταὶ ἀπορούμενοι περὶ τίνος λέγει. 23 Ἦν δὲ ἀνακείμενος εἷς τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς. 24 Νεύει οὖν τούτῳ Σίμων Πέτρος πυθέσθαι τίς ἂν εἴη περὶ οὗ λέγει. 25 Ἀναπεσὼν οὖν ἐκεῖνος οὕτως ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ λέγει αὐτῷ· Κύριε, τίς ἐστιν; 26 Ἀποκρίνεται ὁ Ἰησοῦς· Ἐκεῖνός ἐστιν ᾧ ἐγὼ βάψας τὸ ψωμίον δώσω. Καὶ ἐμβάψας τὸ ψωμίον δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτου. 27 Καὶ μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. Λέγει οὖν αὐτῷ ὁ Ἰησοῦς· Ὃ ποιεῖς ποίησον τάχιον. 28 Τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων πρὸς τί εἶπεν αὐτῷ. 29 Τινὲς γὰρ ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν· ἢ τοῖς πτωχοῖς ἵνα τι δῷ. 30 Λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος ἐξῆλθεν εὐθέως· ἦν δὲ νύξ.

31 Ὅτε οὖν ἐξῆλθεν, λέγει ὁ Ἰησοῦς· Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ. 32 Εἰ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν. 33 Τεκνία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι. Ζητήσετέ με, καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις ὅτι ὅπου ὑπάγω ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, καὶ ὑμῖν λέγω ἄρτι. 34 Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους· καθὼς ἠγάπησα ὑμᾶς ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. 35 Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.

36 Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, ποῦ ὑπάγεις; Ἀπεκρίθη Ἰησοῦς· Ὅπου ὑπάγω οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι, ἀκολουθήσεις δὲ ὕστερον. 37 Λέγει αὐτῷ ὁ Πέτρος· Διὰ τί οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι; τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω. 38 Ἀποκρίνεται Ἰησοῦς· Τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις; Ἀμὴν ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσῃ ἕως οὗ ἀρνήσῃ με τρίς.

14 1 Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία· πιστεύετε εἰς τὸν θεὸν καὶ εἰς ἐμὲ πιστεύετε. 2 Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν· εἰ δὲ μή, εἶπον ἂν ὑμῖν ὅτι πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν; 3 Καὶ ἐὰν πορευθῶ καὶ ἑτοιμάσω τόπον ὑμῖν, πάλιν ἔρχομαι καὶ παραλήμψομαι ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε. 4 Καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε τὴν ὁδόν. 5 Λέγει αὐτῷ Θωμᾶς· Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι; 6 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ. 7 Εἰ ἐγνώκατέ με καὶ τὸν πατέρα μου γνώσεσθε· καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν. 8 Λέγει αὐτῷ Φίλιππος· Κύριε, δεῖξον ἡμῖν τὸν πατέρα καὶ ἀρκεῖ ἡμῖν. 9 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα· πῶς σὺ λέγεις· δεῖξον ἡμῖν τὸν πατέρα; 10 Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν; τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτοῦ. 11 Πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετε. 12 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν πατέρα πορεύομαι. 13 Καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ. 14 Ἐάν τι αἰτήσητέ με ἐν τῷ ὀνόματί μου ἐγὼ ποιήσω.

15 Ἐὰν ἀγαπᾶτέ με τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσετε. 16 Κἀγὼ ἐρωτήσω τὸν πατέρα καὶ ἄλλον παράκλητον δώσει ὑμῖν ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, 17 τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει· ὑμεῖς γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει καὶ ἐν ὑμῖν ἔσται. 18 Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς. 19 Ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ· ὑμεῖς δὲ θεωρεῖτέ με, ὅτι ἐγὼ ζῶ καὶ ὑμεῖς ζήσετε. 20 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὑμεῖς γνώσεσθε ὅτι ἐγὼ ἐν τῷ πατρί μου καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν. 21 Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, κἀγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. 22 Λέγει αὐτῷ Ἰούδας, οὐχ ὁ Ἰσκαριώτης· Κύριε, τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ τῷ κόσμῳ; 23 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ἐάν τις ἀγαπᾷ με τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. 24 Ὁ μὴ ἀγαπῶν με τοὺς λόγους μου οὐ τηρεῖ· καὶ ὁ λόγος ὃν ἀκούετε οὐκ ἔστιν ἐμὸς ἀλλὰ τοῦ πέμψαντός με πατρός. 25 Ταῦτα λελάληκα ὑμῖν παρ' ὑμῖν μένων· 26 ὁ δὲ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν ἐγώ. 27 Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν ἐγὼ δίδωμι ὑμῖν. Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία μηδὲ δειλιάτω. 28 Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν· Ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. Εἰ ἠγαπᾶτέ με ἐχάρητε ἂν ὅτι εἶπον· Πορεύομαι πρὸς τὸν πατέρα, ὅτι ὁ πατήρ μου μείζων μού ἐστιν. 29 Καὶ νῦν εἶπον ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα ὅταν γένηται πιστεύσητε. 30 Οὐκέτι πολλὰ λαλήσω μεθ' ὑμῶν· ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν· 31 ἀλλ' ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν πατέρα καὶ καθὼς ἐνετείλατό μοι ὁ πατήρ οὕτως ποιῶ. Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν.

15 1 Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστιν. 2 Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν αἴρει αὐτό· καὶ πᾶν τὸ καρπὸν φέρον καθαίρει αὐτό, ἵνα καρπὸν πλείονα φέρῃ. 3 Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. 4 Μείνατε ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν. Καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ ἐὰν μὴ μένῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς ἐὰν μὴ ἐν ἐμοὶ μένητε. 5 Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ οὗτος φέρει καρπὸν πολύν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. 6 Ἐάν τις μὴ μένῃ ἐν ἐμοὶ ἐβλήθη ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη, καὶ συνάγουσιν αὐτὰ καὶ εἰς πῦρ βάλλουσιν καὶ καίεται. 7 Ἐὰν μείνητε ἐν ἐμοὶ καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ ὃ ἐὰν θέλητε αἰτήσασθε καὶ γενήσεται ὑμῖν. 8 Ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου ἵνα καρπὸν πολὺν φέρητε καὶ γένησθε ἐμοὶ μαθηταί. 9 Καθὼς ἠγάπησέν με ὁ πατὴρ κἀγὼ ὑμᾶς ἠγάπησα· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. 10 Ἐὰν τὰς ἐντολάς μου τηρήσητε μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τοῦ πατρός μου τὰς ἐντολὰς τετήρηκα καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. 11 Ταῦτα λελάληκα ὑμῖν ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν ᾖ καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. 12 Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς. 13 Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. 14 Ὑμεῖς φίλοι μού ἐστε ἐὰν ποιῆτε ἃ ἐγὼ ἐντέλλομαι ὑμῖν. 15 Οὐκέτι λέγω ὑμᾶς δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδεν τί ποιεῖ αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρός μου ἐγνώρισα ὑμῖν. 16 Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς καὶ ἔθηκα ὑμᾶς ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέρητε καὶ ὁ καρπὸς ὑμῶν μένῃ, ἵνα ὅ τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου δῷ ὑμῖν. 17 Ταῦτα ἐντέλλομαι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους.

18 Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. 19 Εἰ ἐκ τοῦ κόσμου ἦτε ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. 20 Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν καὶ τὸν ὑμέτερον τηρήσουσιν. 21 Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν εἰς ὑμᾶς διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασιν τὸν πέμψαντά με. 22 Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς ἁμαρτίαν οὐκ εἴχοσαν· νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν περὶ τῆς ἁμαρτίας αὐτῶν. 23 Ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ. 24 Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν ἁμαρτίαν οὐκ εἴχοσαν· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασιν καὶ ἐμὲ καὶ τὸν πατέρα μου. 25 Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ ἐν τῷ νόμῳ αὐτῶν γεγραμμένος ὅτι Ἐμίσησάν με δωρεάν. 26 Ὅταν ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· 27 καὶ ὑμεῖς δὲ μαρτυρεῖτε ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε.

16 1 Ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε. 2 Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ. 3 Καὶ ταῦτα ποιήσουσιν ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ. 4 Ἀλλὰ ταῦτα λελάληκα ὑμῖν ἵνα ὅταν ἔλθῃ ἡ ὥρα μνημονεύητε αὐτῶν ὅτι ἐγὼ εἶπον ὑμῖν. Ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον ὅτι μεθ' ὑμῶν ἤμην· 5 νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· Ποῦ ὑπάγεις; 6 Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. 7 Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ μὴ ἀπέλθω ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ πέμψω αὐτὸν πρὸς ὑμᾶς. 8 Καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως· 9 περὶ ἁμαρτίας μέν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ· 10 περὶ δικαιοσύνης δέ, ὅτι πρὸς τὸν πατέρα μου ὑπάγω καὶ οὐκέτι θεωρεῖτέ με· 11 περὶ κρίσεως δέ, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται. 12 Ἔτι πολλὰ ἔχω ὑμῖν λέγειν ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. 13 Ὅταν δὲ ἔλθῃ ἐκεῖνος τὸ πνεῦμα τῆς ἀληθείας ὁδηγήσει ὑμᾶς ἐν τῇ ἀληθείᾳ πάσῃ· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ ἀλλ' ὅσα ἀκούσει λαλήσει καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. 14 Ἐκεῖνος ἐμὲ δοξάσει ὅτι ἐκ τοῦ ἐμοῦ λήμψεται καὶ ἀναγγελεῖ ὑμῖν. 15 Πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστιν· διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει καὶ ἀναγγελεῖ ὑμῖν. 16 Μικρὸν καὶ οὐκέτι θεωρεῖτέ με καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, ὅτι ἐγὼ πρὸς τὸν πατέρα πορεύομαι. 17 Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους· Τί ἐστιν τοῦτο ὃ λέγει ἡμῖν· Μικρὸν καὶ οὐ θεωρεῖτέ με καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, καὶ ὅτι ἐγὼ πρὸς τὸν πατέρα; 18 Ἔλεγον οὖν· Τί ἐστιν τοῦτο ὃ λέγει τὸ μικρόν; οὐκ οἴδαμεν τί λαλεῖ. 19 Ἔγνω οὖν ὁ Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν καὶ εἶπεν αὐτοῖς· Περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων ὅτι εἶπον· Μικρὸν καὶ οὐ θεωρεῖτέ με καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; 20 Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς ὁ δὲ κόσμος χαρήσεται· ὑμεῖς λυπηθήσεσθε ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. 21 Ἡ γυνὴ ὅταν τίκτῃ λύπην ἔχει ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον οὐκέτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. 22 Καὶ ὑμεῖς οὖν νῦν μὲν λύπην ἔχετε· πάλιν δὲ ὄψομαι ὑμᾶς καὶ χαρήσεται ὑμῶν ἡ καρδία καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν. 23 Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὅ τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου δώσει ὑμῖν. 24 Ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε καὶ λήμψεσθε ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. 25 Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν ἀλλὰ παρρησίᾳ περὶ τοῦ πατρὸς ἀπαγγελῶ ὑμῖν. 26 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν· 27 αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ θεοῦ ἐξῆλθον. 28 Ἐξῆλθον παρὰ τοῦ πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι τὸν κόσμον καὶ πορεύομαι πρὸς τὸν πατέρα. 29 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ἴδε νῦν παρρησίᾳ λαλεῖς καὶ παροιμίαν οὐδεμίαν λέγεις. 30 Νῦν οἴδαμεν ὅτι οἶδας πάντα καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ· ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ θεοῦ ἐξῆλθες. 31 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Ἄρτι πιστεύετε; 32 Ἰδοὺ ἔρχεται ὥρα καὶ νῦν ἐλήλυθεν ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια κἀμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ' ἐμοῦ ἐστιν. 33 Ταῦτα λελάληκα ὑμῖν ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε· ἐν τῷ κόσμῳ θλῖψιν ἔχετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

17 1 Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς καὶ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν εἶπεν· Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σέ, 2 καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ δώσῃ αὐτοῖς ζωὴν αἰώνιον. 3 Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. 4 Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς τὸ ἔργον τελειώσας ὃ δέδωκάς μοι ἵνα ποιήσω· 5 καὶ νῦν δόξασόν με σὺ πάτερ παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. 6 Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου· σοὶ ἦσαν κἀμοὶ αὐτοὺς ἔδωκας καὶ τὸν λόγον σου τετηρήκασιν. 7 Νῦν ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοῦ εἰσιν· 8 ὅτι τὰ ῥήματα ἃ ἔδωκάς μοι δέδωκα αὐτοῖς καὶ αὐτοὶ ἔλαβον καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον καὶ ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας. 9 Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ ἀλλὰ περὶ ὧν δέδωκάς μοι ὅτι σοί εἰσιν· 10 καὶ τὰ ἐμὰ πάντα σά ἐστιν καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν αὐτοῖς. 11 Καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσὶν καὶ ἐγὼ πρὸς σὲ ἔρχομαι. Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς. 12 Ὅτε ἤμην μετ' αὐτῶν ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι καὶ ἐφύλαξα καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας ἵνα ἡ γραφὴ πληρωθῇ. 13 Νῦν δὲ πρὸς σὲ ἔρχομαι καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ ἵνα ἔχωσιν τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν ἑαυτοῖς. 14 Ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. 15 Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. 16 Ἐκ τοῦ κόσμου οὐκ εἰσὶν καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. 17 Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ· ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστιν. 18 Καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον· 19 καὶ

Ομιλ. οα. 12 ΚΑΙ ΕΛΑΒΕ ΤΑ ΙΜΑΤΙΑ ΑΥΤΟΥ, ΚΑΙ ΑΝΑΠΕΣΩΝ, ΠΑΛΙΝ ΕΙΠΕΝ ΑΥΤΟΙΣ· ΓΙΝΩΣΚΕΤΕ Τ΄ ΠΕΠΟΙΗΚΑ ΥΜΙΝ; ΚΑΙ ΛΕΓΕΙΣ.

ΑΛΕΠΟΝ, ἀγαπητοί, χαλεπὸν εἰς βάθος κακῶν ἐλθεῖν. λοιπὸν γὰρ δυσδιόρθωτος ἡ ψυχὴ γίνεται. διὰ τοῦτο χρὴ πάντα ποιεῖν, ὥστε μὴ ἁλῶναι τῷ ἔρχει. οὐκολώτερον γὰρ μὴ ἁμαρτεῖν, ἢ ἁμαρτόντα αἰσχύνασθαι ἑαυτόν. ὅρα γοῦν, ὅπως ἐπέβαλεν ἑαυτὸν ὁ Ἰούδας, πόσης ἀπολαύει βοηθείας, καὶ οὐδὲ οὕτω διανίσταται. εἶπε τοῖς αὐτοῖς, ὅτι εἷς ἐξ ὑμῶν διάβολός ἐστιν· εἶπεν, ὅτι ὁ πάντας πίστις βύθιον· εἶπεν, ὅτι ὁ τοῦ πάντων λέγω· καὶ, ὅτι οἶδα ἐγὼ οὓς ἐξελεξάμην, ἵνα οὐδενὸς τούτων ἀποδέωνται. ὡς δὲ ἔνιψε τοὺς πόδας, καὶ ἀνέλαβε τὰ ἱμάτια αὐτοῦ καὶ κατεκλίθη, φησί· γινώσκετε τί πεποίηκα ὑμῖν; οὐκέτι τοῖς Πέρσαις μόνον, ἀλλὰ καὶ τοῖς ἀπανταχοῦ διαλέγεται).

13 Ὑμεῖς φωνεῖτέ με, ὁ κύριος καὶ ὁ διδάσκαλος· καὶ καλῶς λέγετε, εἰμὶ γάρ. χ. Χριστὸς

Ὑμεῖς φωνεῖτέ με· τὴν κρίσιν αὐτῶν προσλαμβάνει. εἶπα ἵνα μὴ τῆς ἐκείνων χαρίτος εἰς δόξαν καὶ ῥήματα, ἐπαίρηται· εἰμὶ γάρ. ὧν μὲν οὖν πρὸς αὐτὴν τὴν λύσιν εἰσαγαγεῖν, θύρας ἀνεπτάσθη ποιεῖ· ὧν δὲ πρὸς ἐκείνων εἰσαγθέντα βεβαιῶσαι πρὸς ἑαυτόν, δύσποπτον. εἰμὶ γάρ, φησιν. ὁρᾷς ὅταν τοῖς μαθηταῖς διαλέγηται, πῶς ἐκκαλύπτων καὶ καθ' ἑαυτὸν φθέγγεται μᾶλλον; ὥσπερ οὖν λέγει, μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς· εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητής· οὕτω λέγει, καὶ μὴ καλέσητε πατέρα ἐπὶ τῆς γῆς. ὃ δὲ εἷς καὶ εἷς, οὐ τοῦτο παρεῖς εἰρηται μόνον, ἀλλὰ καὶ τοῦτο αὐτό. εἰ γὰρ ἑαυτὸν ἐκβάλλων ἔλεγε, πῶς φησιν, ἵνα μοι φωτὸς γένησθε; καὶ πάλιν, εἰ διδάσκαλον μόνον ἔλεγε τὸν πατέρα, πῶς λέγει, εἰμὶ γάρ· καὶ πάλιν, εἷς ἐστιν ὑμῶν ὁ καθηγητής, ὁ Χριστός;

14 Εἰ οὖν ἐγώ, φησιν, ὁ κύριος καὶ ὁ διδάσκαλος, ἔνιψα ὑμῶν τοὺς πόδας, καὶ ὑμεῖς ἀλλήλων ὀφείλετε νίπτειν. χ. Χριστὸς

15 Τοῦτο γὰρ ὑπόδειγμα ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, οὕτω καὶ ὑμεῖς ποιῆτε.

Καὶ μοῦ οὐκ ἔστι τὸ αὐθάδες. αὐτὸς μὲν γὰρ διδάσκαλος καὶ κύριος, ὑμεῖς δὲ ἀλλήλων ὁμοδούλοι. τί οὖν ἐστι τὸ, οὕτω; μετὰ τῆς αὐτῆς εὐσυνεσίας. διὰ γὰρ τοῦτο ἀπὸ τῶν μειζόνων παραδείγματα λαμβάνει καὶ παραδείγματα, ἵνα καὶ τὸ ἔλαττον ἐργασώμεθα. καὶ γὰρ διδάσκαλοι τοῖς παισὶ καὶ γράμματα μετὰ πολλοῦ τοῦ κάλλους γράφουσιν, ἵνα καὶ πρὸς τὸ καταδέστερον ἔλθωσι τῆς μιμήσεως. ποῦ νῦν διαπύοντες τοὺς ὁμοδούλους; ποῦ νῦν τὰς ἡμετέρας ἀπαιτοῦντες; τί παρόντα τοῖς ποσὶ ὁ Χριστὸς ἔνιψε, τί ἱερούλια καὶ κλέπτου, καὶ παρὰ τὸν καιρὸν τῆς παραδόσεως, καὶ διάπυος ἔχοντα πραπέζης κοινωνὸν ἐπέπνευ, καὶ σὺ μεγαφρονεῖς καὶ τὰ ὀφρῦς ἀναστρέφεις; τοὺς πόδας οὖν ἀλλήλων νίπτωμεν, φησιν· οὐκοῦν καὶ τὴν οἰκετῶν. καὶ τί μέγα, εἰ καὶ τῶν οἰκετῶν; οὐ τοῦτο μὲν γὰρ ὁ δοῦλος καὶ ὁ ἐλεύθερος, ὁμοίως ὅτι διαφορὰ οὐκ ἦν, παρεγγυᾷ ἀληθῆ. φύσει γὰρ αὐτὸς κύριος ἦν, καὶ ἡμεῖς δοῦλοι, καὶ οὐδὲ τοῦτο προῆτησατο νῦν [πιεῖν.] νυνὶ δὲ ἀγαπητόν, εἰ μὴ τοῖς ἐλευθέροις ὡς δούλοις ἡμᾶς χρησαίμεθα, ὡς αὐθραπόδοις ἀργυρωνήτοις. καὶ τί ἐρεοῦμεν τότε, τοσαύτης μὲν ἀνεξικακίας ὑποδείγματα λαβόντες, αὐτοὶ δὲ οὐδὲ μικρὰν μιμούμενοι, ἀλλ' ὄζους σκωπτίας ἐσθίοντες καὶ πρὸς ὀργὴν ἐκπαιζόμενοι καὶ τῶν ὀφλημάτων οὐκ ἀποδιδόντες; ὀφειλέτας γὰρ ἡμᾶς ἀλλήλων καθίστησιν ὁ Θεὸς, αὐτὸς καταρξάμενος τούτου, καὶ ὀφειλέτας ἐλαττόνων μοίρας. αὐτὸς μὲν γὰρ κύριος ὢν ἡμῶν ἦν πρὸς τοὺς συνδούλους τοῦτο ποιῶμεν, ἐὰν ποιήσωμεν. ὁ δὴ καὶ αὐτὸς ἠνίξατο διὰ τοῦ εἰπεῖν· εἰ οὖν ἐγὼ, ὁ κύριος καὶ ὁ διδάσκαλος, οὕτω καὶ ὑμεῖς. τὸ μὲν γὰρ ἀκόλουθον ἦν εἰπεῖν, πόσῳ μᾶλλον ὑμεῖς δοῦλοι· ἀλλ' ἀφῆκεν αὐτὸ ὡς συνδόντων ἀκροωμένων.

χ. ἐκπιεῖν,

χ. καταρξάμενος καὶ

χ. ἐπιδίων

ὅπ καὶ τὴν ψυχὴν δῶσω ὑπὲρ σῦ. Εἰ γὰρ ἀκούσας, ὅπ οὐκ οἶδας ὃ ποιῶ ἐγὼ, γνῶσῃ δὲ μ᾽ ζῶντα, οὐδὲ ὅπως ἀπέκτη, πολλῷ μᾶλλον, εἰ ἔμαθε. Διὰ γὰρ τοῦτο εἶπε, γνώσῃ δὲ μ᾽ ζῶντα, εἰδώς, ὅτι ἐὰν τῶν μαθῃ, ἀνπκείσεται ἐλπ. καὶ οὐκ εἶπε, δίδαξον σῶν με, ἵνα ἀφῶ· ἀλλ᾽ ὁ πολλῷ σφοδρότερον ἰῶ, οὐδὲ μαθεῖν ἰώιχετο, ἀλλ᾽ οὐίσαται λέγων· ὁ μὴ νίψης μου τοὺς πόδας. ὅπῳ δὲ ἠπείλησεν, εὐτέως ἐχάλασε ⓦ τόιον. Τί δέ ὅστι, γνώσῃ μ᾽ ζῶντα; μ᾽ ζῶντα· ποτε; ὅταν τῷ ἐμῷ ὀνόματι δαιμόνια ὀχεβάλης, φησίν· ὅταν ἴδῃς εἰς τοὺς ὑραίους ἀναλαμβανομένους· ὅταν ὦ ἐκ τῶν παθῶν μείζης, ὅτι ὀκ ἀξίαν" κάθη"), τότε εἴση ὃ νῦν γινόμενον. Τί οὖν ὁ Χριστός; ὅπῳ εἶπεν ὁ Πέτρος, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν,

ἴσ. κάθημαι,

10 Ο λελουμένος, φησὶν, ὑ χρείαν ἔχῃ, εἰ μὴ τοὺς πόδας νίψασθαι μόνον, ἀλλ᾽ ἔστι καθαρὸς ὅλος. καὶ ὑμεῖς καθαροί" ἐστε, ἀλλ᾽ ὀχὶ πάντες.

χ. ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. ἀλλ᾽ ὀχὶ π. ἤ. γ. τ. π. αὐ. εἰ πέτρω κεφ. εἰσι, τ. χ. καὶ πε

11 Ἤδει γὰρ ⓦ τὸν παραδιδόντα αὐτόν. Καὶ εἰ καθαροί εἰσι, τίνος ἕνεκεν νίπτει τοὺς πόδας; ὥστε ἡμᾶς μετειάζειν μαθεῖν. Διὰ τοῦτο οὐκ ἐφ᾽ ἑτέρων μέρος ἦλθεν, ἀλλ᾽ ὅπῳ ἄλλων ἁπάντων ἦν εἷς δικῆ. τί δέ ἐστιν, ὁ λελουμένος; αἱ τὰ, ὁ καθαρός. ἆρ᾽ οὖν αὐτοὶ καθαροὶ ἦσαν" οἵγε οὐδὲ πω τῶν ἁμαρτημάτων ἦσαν ἀπηλλαγμένοι, οὐδὲ πνεύματος ἡγεμονικοῖ, ἅτε τῆς ἁμαρτίας ἐπικρατούσης, τῆς καρδίας τὰ χείροσι φθονούσης, τὰ ἱερείου οὐδέπω προσενεχθέντος; πῶς οὖν αὐτοὶ καθαροὶ εἶναι λέγῃ; "ἀλλ᾽ ἵνα μὴ διὰ ζῶντα νομίσῃς αὐτοὺς καθαρὰς ὡς ἁμαρτημάτων ἀπηλλαγμένους, ἐπάγῃ· ἴδε, ὑμεῖς καθαροί ἐστε διὰ ⓦ λόγον ὃν λελάληκα ὑμῖν· τουτέστι, ζαύτῃ τέως ἐστὲ καθαροί· ἤδη δὲ φαίνεσθε ἔξω τῆς πλάνης ἀπηλλάγητε τῆς Ἰουδαϊκῆς. καὶ γὰρ ὁ προφήτης φησί· Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε ζαὶ πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν. ὥστε ὁ τοιοῦτος λέλουται καὶ καθαρός ὅστιν. ἐπεὶ οὖν πᾶσαν πονηρίαν ἔρριψαι ἀπὸ τῆς ψυχῆς ἐκεῖνοι, καὶ μ᾽ εἰλαρινῶς διακεῖσαι οἵας ζητοῦσαν αὐτὸν, διὰ τοῦτό φησι κ᾽ ⓦ προφητικὸν λόγον, ὁ λελουμένος ἤδη καθαρός ὅστι. καὶ γὰρ ἐκεῖ λούζειν, ὑ ὃ δι᾽ ὕδατος λέγῃ ὃ Ἰουδαϊκόν, ἀλλὰ τὸν τῆς" ζωοδόσεως καθαρμόν.

Hσ. α. ισ.

χ. δημιουργίας

ΗΘΙΚΟΝ Hσ. α. κγ.

Γενώμεθα τοίνυν καὶ ἡμεῖς καθαροί· μάθωμεν καλὸν ποιεῖν. τί δέ ὅστι ὃ καλόν; Κρίνετε ὀρφανῷ καὶ δικαιώσατε χήραν· καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος. πολὺς ὁ λόγος ὁ τῆς γραφῆς τῶν χρεῶν καὶ [τῶν] ὀρφανῶν· ἀλλ᾽ ἡμῖν ὀδεὶς τούτου λόγος. καὶ πίνε σινόπιον πλίχον ὃ ἔπαθλον. Ἐὰν ὦσί, φησιν, αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν ᾖ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκάνω. καὶ γὰρ ἀπροσπάθητον ἡ χάρις· διὰ τοῦτο πολλοὶ ὑπὸρ αὐτῆς ποιῆται κοπιῶσι. καὶ γὰρ πρὸ δεκαετίας ὁμιλοῦσαι γάμοις, διὰ τὸν τοῦ Θεοῦ φόβον τὰ ἀπὸ τῆς χαρᾶς ὑποφέρουσι δεινά. ὁρέγωμεν τοίνυν αὐτῆς χεῖρα ἀπόντες καὶ αἰδῆρες καὶ γεωργοῦντες, ἵνα μήποτε ὑποσκῶμεν ζὰ τῆς χαρᾶς δεινά. "κἂν ὑποσκώμεθ᾽, πολλῷ ἀποθώμεθα φιλανθρωπίας" κύριε ἀφορμῶν. ὁ μικρὰ δωρίαμενος τῶν δακρύων τῆς χήρας ὅστιν, ἀλλὰ καὶ αὐτὸν τὸν οὐρανὸν διὰ γοῦ δώσαται. μὴ τοίνυν αὐτῆς ἐπεμβαίνωμεν, μηδὲ χείρονα ποιῶμεν τὴν συμφορὰν; ἀλλὰ πάντῃ ζῆπω βοηθῶμεν." αἱ ὅτω ποιῶμεν, πολλῶν ἑαυτοῖς περιβαλούμεθα ἀσφάλειαν καὶ τῶν παρόντα καὶ τῶν μέλλοντα αἰῶνα. ὁ γὰρ ὑπὲρ ζῶντα μόνον, ἀλλὰ καὶ ἐκεῖ πολὺ παρρησίαν, τὰ πλείονα τῶν ἁμαρτημῶν ἡμῶν διὰ τῆς εἰς αὐτὰς θερμασίας ὑποτεμνόμενα, καὶ μ᾽ παρρησίας ποιοῦσαν πρὸς ἰῶνα τὰ βήματι τοῦ Χριστοῦ· "ὅ γένοιτο πάντας ἡμᾶς ὑπάντων τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. ἐχόμεθα ὑ, αὖ χ. ἑαυτοῖς

χ. πολλὰ ἑαυτοῖς περιβάλλοντες ἀσφάλειαν χ. ἧς

Ομιλ.

αὐτοὺς ἐρωτῆσαι ἀπίθανον, ὅπως ἂν οἰκείαν ἐπιμέλειαν λοιπὸν, διδάσκων αὐτοὺς τὸν μετέρχε-
σθαι ἀεὶ τὸν ἀπεσταλμένον αὐτῷ παρ' ἐκείνου, ὃν καὶ ἔρχεται τέλος ἔφησεν εἶναι τῆς ἀρετῆς. οὐχ χ. πίστεως.
ἁπλῶς δὲ παρῄνεσεν, ἀλλὰ θεραπεύσας αὐτοὺς ἐκ τοῦ ἀγαθοῦ. ἀλλ' ἵνα μάθῃς χ. τιμίαν
μὴ ὅτι ἄξια ἐποίει ἃ εἶχεν ἐλάμβανεν ὁ ἀπόστολος, ἅπαντα καταπατῶν τύφον. ἄξια ἐπ.

4 Καὶ ἀναστὰς ἀπὸ τοῦ δείπνου, καὶ τίθησι τὰ ἱμάτια. Ὅρα πῶς ὁ τῆς ὕβρεως μόνον, 5
ἀλλὰ καὶ ἑτέρως ὁ ζηλωτὴς οὐδεὶς ἀνέχεται ἀκούειν, οὐδὲ ἀκροᾶται καταγελωμένου, ἀλλὰ κἂν
ὑπὲρ ἀνθρωπίνην ἀνάγκην ᾖ, τότε μένει. ἔπειτα οὐκ ἐκέλευσεν, ἀλλὰ ἅπαντα ἀποτελεῖται. καὶ
οὐδὲ μέχρι τούτων ἔστη, ἀλλὰ καὶ λίαν ἐβαρύνατο. καὶ οὐδὲ τοῦτο ἠρκέσθη· ἀλλὰ καὶ αὐ- χ. στέγει
τοὺς ἐπέστησε τῷ ἔργῳ. πλησίον ἐκέλευσε. ἀλλὰ πάντα αὐτὸς ἐργάζεται, ἵνα
πάντων δείκνυσι ὅτι οὐκ ἀφοσιούμενος ἐμπαίζει τοῖς, ἀλλὰ διὰ παιδίων, ἀλλὰ μὴ πά- 10 χ. ἐμπαίζει
σης παῤῥησίας. ἐμοὶ δοκεῖ τὸ παρόντα καὶ τὰ ἱμάτια τοῦ ποδὰς, ἢ τὸ εἰπεῖν,

5 Εἶτα βάλλει εἰς τὸν νιπτῆρα. Καὶ ἤρξατο νίπτειν.

6 Ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον· λέγει αὐτῷ ἐκεῖνος, σὺ μου νίπτεις τοὺς πόδας;
Τίς, χριστιανὸς, φησὶν, ἀκούσας ταῦτα, καὶ ὀφθαλμοὺς ἀνοίξας, καὶ ἀκοὰς καθήρας, καὶ νεκρὸς ἀ-
ναστὰς, καὶ ἀπολουσάμενος τὸ ὕδωρ ἐγεύσατο, ἐξαίφνης τότε ἐκείνου, αὐτῷ τῷ πλέον εἰπεῖν, ἢ τοῦ 15
σοῦ, ἐπιχειρεῖ; πῶς ἐκεῖνον ἐκώλυσα; ζητήσεις δ' ἴσως πῶς οὐ-
δεὶς τῶν ἄλλων ἐκάλυσεν, ἀλλὰ Πέτρος μόνος, ὑπὲρ οὗ μικροῦ φίλτρου καὶ ἀγάπης ἦν.
τῆς οὖν ἐκείνου παῤῥησίας ἐμοὶ δοκεῖ καὶ τοὺς ἄλλους ἀπολαῦσαι. εἶτα πρὸς τὸν Πέτρον ἐλέ-
γχει, καὶ διὰ τοῦτο ἀπὸ τοῦ ἐκείνου παύει λοιδορίαν. ὅπου μὲν οὖν ἄλλον ἰδιώτην πρὸς αὐτὸν ἐ- χ. ὦ
νίψε, δῆλον ἐκ τοῦ εἰπεῖν, ἵνα μὴ ἔχῃς μέρος Πέτρον· ἀλλ' οὐκ ἐπὶ σφοδρᾶς κατηγορίας ὁ δι- 20
δάσκαλος. τοῦτο δὲ ἔπραξε, πρὸς ἐκεῖνον ἀποβλέπων (οἶδε γὰρ ὁ Πέτρος πρὸς τὸν ἀναπλάττων
εἰκὸς τοῦ προδότου ἅπτεσθαι ποδῶν καὶ ἀναπλάττων ὡς ἐλεήμων ἐπιτρέπει, ὃ
ἐπαινεῖ αὐτὸν δείκνυσι), ὅταν βάπτῃ μὴ ὁ δοῦλος, ὅταν ἐλεήμων μὴ κατάκριτον·
ἀλλ' ὁμοῦ Πέτρος ἅπτεται μηδεὶς ἐντεῦθεν ἀφορμὴν λαβέτω ἀμελείας τὰ ὁ-
μοῖα ἐπαινεῖν, ἐπὶ ζωῆς ἀλλ, ὡς ἐν ἀγῶνι ἐν ᾧ τέλειον ἐπὶ δικαιώσει πρὸς τὸν ἁμαρτάνοντα· 25
δεῖ δὲ ζωῆς ἐλεεῖν μόνον οὐκ ἀρκτέον.

6 Ὀπίσω ἦλθε πρὸς τὸν Πέτρον, λέγει αὐτῷ ἐκεῖνος· Κύριε, σύ μου νίπτεις τοὺς
πόδας;

7 Λέγει αὐτῷ· ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἀρτι· γνώσῃ δὲ μετὰ ταῦτα.

Τοῦτο, ὃ κωλύει ὅτι ὃ ἐκ τούτου, τὸν ὠφέλειαν τῆς διδασκαλίας, καὶ πῶς ἰσα- 30
νὸν εἰς πάντας ἀγαγεῖν ἐπιφέρει λύσας. τί οὖν ὁ Πέτρος; ἐπακολουθεῖ, καὶ λέγει·

8 Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα. Τί παίζεις, ὦ Πέτρε; ὁ μεμνησαι τὸν
προτέραν μανίαν; οἶδε γὰρ ἅπαντας, ἐλεεῖ σε, καὶ ἀνέχεται, ὅπως σε σώσῃ μὴ Σατανᾶν ἢ δόξῃ
ὅτι σοφίζεται, ἀλλ' ἐπιστρέφει καὶ φοβεῖται πολὺ δὲ ἡμῖν καὶ ἐκπλήξεως γέ-
μον. ἔπειτα οὖν ἀπὸ πολλῆς ἀγάπης τοῦτο ἐποίησε, καὶ ἀπὸ τοῦ αὐτὸ χειρω- 35
Matth. xv. κ. γ. τὰ πάλιν ὁ Χριστὸς, ὥσπερ [οὖν] ἐκεῖ σφοδρὰς ἐπιτιμήσας ἔφη, Σατανᾶ μοι εἶ,
οὐ τῶν ἀνθρωπίνων φρονεῖς, οὕτω καὶ ἐνταῦθα λέγων, Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. Τί
οὖν ὁ ζηλωτὴς καὶ ἀκόλαστος,

9 Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν. Καὶ ἐν τῇ
παῤῥησίᾳ τοσοῦτος, καὶ ἐν τῇ συνηθείᾳ τοσοῦτος [illegible] 40
δὸν εἶπε. [illegible]
[illegible]
Isaiah. 15. 1. το γὰρ τὰ μὴ τὰ ἀναιτίου τόπο πεισθαι, [illegible] Ὃ
μὴ φοβηθῶσι αὐτὸ. αὐτὸς γὰρ ὁ ζωοποιὸς ἐρωτᾷ, [illegible]

ὅτι

πῶ με δέρεις; ἀλλ' ἐκεῖνα ὦ τοὺς τοὺς ἐμοὺς καὶ τοὺς ὑπεναντίους μου. ἴδωμεν δὲ ἡ τοὺς τοὺς μαθητὰς τί ποιεῖ τῶν· μᾶλλον δὲ καὶ ἀ τῶν ὑπεδείκνυται τοὺς τὸ ὑπεναντίον. ὁ γὰρ μάλιστα πάντων ἐχρῆν μίσεῖν, ὅτι μαθητὴς ὢν, καὶ τραπέζης καὶ ἄλλων κοινωνήσας, καὶ θαύματα ἰδὼν, καὶ τοσούτων ἀξιωθείς, πάντων ἐποίησε χαλεπώτερα, λίθοις μὲ οὐ βάλλων, οὐδὲ ὑβρίσας, ἀλλὰ τοῦ προδότης αὐτοῦ καὶ μαθητὴς, τοῦτον ὅρα πῶς φιλοσοφίας δέχεται, νίπτων αὐτῶν τοὺς πόδας. καὶ γὰρ ἐβούλετο τῆς ποιμένος ἐκείνης. καίτοιγε οὐκ ἦν, εἰ περ ἦλθε, καὶ ξηρᾶναι αὐτὸν ὡς τὸν συκῆν, καὶ διαπεμεῖν ὥσπερ γὰρ πέτρας ἔρρηξε, καὶ διαφάγεσαι ὥσπερ ὃ καταπέπαυμα· ἀλλ' οὐκ ἐβούλετο δυνάμει, ἀνέχεται τοῦ προαιρέσει τῆς ἐπιβουλῆς αὐτοῦ ἀπαγαγεῖν. δρᾷ τοῦτο καὶ νίπτει τοὺς πόδας· καὶ δεῦτε τοῦτο πάθετε ὁ ζηλωτὴς ἐκεῖνος καὶ ἀθλιος. τοῦ δὲ ἑορτῆς τοῦ πάσχα, φησὶν, εἰδὼς ὁ Ἰησοῦς ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα. ὁ τότε εἰδὼς· ἀλλ' ὅτι ἐποίησεν, ὅπερ ἐποίησεν, εἰδὼς πάλαι. ἵνα μεταξῦ. μεγαλοφρόνως ὁ εὐαγγελιστὴς μεταβαίνει αὐτοῦ καὶ δαίμονι καλῶ. ἀγαπήσας τοὺς ἰδίους, εἰς τέλος ἠγάπησεν αὐτούς. εἶδες πῶς μέλλων ἐγκαταλιμπάνειν αὐτοὺς σφοδροτέραν τὴν ἀγάπην ἐπιδείκνυται; ὃ γὰρ, ἀγαπήσας, εἰς τέλος ἠγάπησεν αὐτούς, τοῦτο δηλονότι ἐπέλιπεν ὧν τὸν σφόδρα ἀγαπῶντα εἰκὸς ἦν ποιῆσαι. τί δήποτε δὲ οὐκ ἐξ ἀρχῆς τοῦτο ἐποίησε; τὰ μείζονα ὕστερον ἐργάζεται, ὥστε αὐτὴν ἐπιτείνειν τὴν οἰκείωσιν, καὶ πολλὴν αὐτοῖς τοῦ ἀποδεῖξαι τοῦ μάλιστα ἐπίτασιν δυνάμει. ἴδιους δὲ αὐτοὺς λέγει καὶ τῆς οἰκειώσεως λόγον· ἐπεὶ καὶ ἄλλως ἰδίους λέγει καὶ τῆς δημιουργίας, ὡς ἔστιν ὅτε λέγει· Οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. τί δέ ἐστι, τοὺς ἐν τῷ κόσμῳ ὄντας; ὅτε ἦσαν αὐτοῦ ἴδιοι καὶ τελευτηκότες, τοῦ τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ κατ' ἐκείνους· ἀλλ' οὐκ ἐν τῷ κόσμῳ ὄντας ἐκείνους. ὁρᾷς ὅτι παλαιὰς καὶ καινὰς αὐτὰς ὑστὶ ὁ Θεός; τί δέ ἐστιν, εἰς τέλος ἠγάπησεν αὐτούς; ἐλώμεν ἀγαπῶν διὰ παντὸς, καὶ πικμήριον τῆς πολλῆς ἀγάπης τοῦτο λάβωμεν. καίτοιγε ἄλλα δ' ἔστιν εἰπεῖν, ὃ, τὸν ψυχὴν ὑπὲρ τῶν φίλων αὐτοῦ· ἀλλ' ὧν τοῦ ἐνδεὲς ἐγκρύπτει. ἵνα δὲ ἔχεκεν τοῦτο [νῦν] ἐποίησεν, ὅτι πολλὰ ἦν ἰσοδυναμοῦντα, ὅτε φανερώτερος τοῖς πᾶσιν ἐφάνη· καὶ τοῦ ἐνυβρίσθη δὲ ἡ μακροθυμία καταλύεται τὰ ὅλα καὶ ἀνατρέπεται· ἐπειδὴ γὰρ ἔνθμεν ὁλοσχερῶς σφοδρῶς, ἀνέρρωσεν αὖθις ἀφ' ἑαυτῶν τοῦ ἐκλησίαν ἐπιστήσαι.

2 Καὶ δεῖπνου γινομένου, τοῦ διαβόλου βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα, ἵνα παραδῷ αὐτόν. Τοῦτο ἐκπληκτικόν ἐστιν εἰπεῖν ὁ εὐαγγελιστὴς δηλοῖ, ὅτι τὴν, τὸν ἤδη τοῦ διάνοιαν ἐλεμένην αὐτοῦ, εἶτα. δείκνυσι δὲ αὐτοῦ πολλῷ τῷ ποιεῖν, ὅτι δεῦτε ἦν ἀλλοῖος καὶ κατέρχεται, ὁ μάλιστα οἶδεν ἐπέχειν ποιεῖν, καὶ τὸ μέχρι τῆς ἑκάστης ἡμέρας παραμεῖναι τὸν διδάσκαλον αὐτοῦ καὶ ἀφασκάζοντα.

3 Εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα αὐτῷ δέδωκεν εἰς χεῖρας· δέδωκεν ὁ πατὴρ, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε, καὶ τοῦ τὸν Θεὸν ὑπάγει. Ἐνταῦθα καὶ θαυμάζειν λέγει, ὅτι ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ παρὰ Θεοῦ ἐλθὼν, καὶ πρὸς αὐτὸν ἀπιών, ὁ πάντων κρατῶν, τοῦτο εἰδὼς, καὶ οὐδὲν ὅπως ἀπολέσωσι καταδέξασθαι τοσοῦτον πόσον. παρὰ δὲ τοῦ, ὡς ἐμοὶ δοκεῖ, τὴν τῶν πιστῶν σωτηρίαν ἐνταῦθα καλῶ. ὁ γὰρ ὅτι μου λέγει, Πάντα μοι παρέδοθη παρὰ τοῦ πατρός μου, ταυτὸν λέγει τῷ παρὰ τοῦ· ὡς δὲ ἀλλαχοῦ φησι, Σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας· καὶ πάλιν, Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ἑλκύσῃ αὐτόν· καὶ, Οὐ τὴν ἐὰν μὴ ἦ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. ἢ τοῦτο οὖν φησι, ἵνα ὅτι δεῦτε ἐλαττῶσθαι ἐνδείκνυται ἀπὸ τούτου, ἀπὸ Θεοῦ ἐξελθὼν καὶ πρὸς τὸν Θεὸν ὑπάγων καὶ πάντα ἔχων. ὅταν δὲ ἀκούσῃς παρὰ δόσεως, μηδὲν ἀνθρώπινον ὑπολάβῃς. τὸν γὰρ Υἱὸν τὸν πατέρα ἐδείκνυτο τιμῶν καὶ ὁμοτιμῶν. ὥσπερ γὰρ ὁ πατὴρ αὐτῷ παραδίδωσιν, ἵνα καὶ αὐτὸς τῷ πατρὶ καὶ δηλονότι Παῦλος λέγων, Ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί. ἀνθρωπίνως δὲ αὖθις ἐνταῦθα εἶπε, τὸν πολλὸν τοῦ αὖθις ἐπιμένειν· δεικνύμενος καὶ τὸν ἄφατον τοῦ αὖθις

αὖθις

χ. ποιεῖ

χα. μεγαλοφρόνως

χβ. ἐπιδείκνυται

χγ. παρενέβαλεν ὁ εὐαγγ.

χδ. ὑπεναντίωσιν

χε. Ἡ τοῦτο φησιν, ὅτι

χς. ὡδύσφησε

χζ. ἐνδ.

Ματθ. ια. κζ. Ἰωαν. ιζ. ε. Ἰωαν. ε. μδ. Ἰωαν. γ. κζ.

α. Κορ. ιε. κδ.

by Google

ποιησε πλείονα ἔδει· ἀλλ' ὅμως, ἀγαπητοί, καὶ τὴν ἴσην αὐτῇ πρόσοχὴν ἔδει ποιεῖσθαι. εἰ- χ. ἀγαπητοί,
πέ γάρ μοι· Εἴ τις σε ἤρετο, τί βούλει, τὸ σῶμά σου εἰς λαμπρὸν καὶ ὠραῖον καὶ ἱμάτια φορεῖν βύσσινα καὶ χρυσοφορεῖν καὶ καλλωπίζεσθαι, ἢ τοῦτον ἔχειν τὸν ἀμορφότατον, ἢ τῇ ταπεινοτέρᾳ τροφῇ χρῆσθαι; εἶτα ἐπὶ μὲν τοῦ σώματος τούτου αἱρήσῃ, ἐπὶ δὲ τῆς ψυχῆς τἀ- 5
ναντία; καὶ αἰσχρὰ αὐτὴν ἔχουσα καὶ δυσειδῆ καὶ μολυσμοῦ, οἴει ποτὲ χαρήσεσθαι ἀπὸ τῶν χρυσίων; καὶ πόσης ζημίας; τρεφόντων τὸν κόσμον τοῦτον ὕδατι, καὶ ταῦτα τοιαῦτα τῇ ψυχῇ παρέχῃς. τὰ μὲν γὰρ σώματα τὰ ἀνελεύθερα, ὅταν εἰς ὑγίειαν, ὅταν εἰς δύσμορφίαν αὐτὸ ὅταν εἰπήσιν (οὔτε γὰρ τὸ μέλι λευκὸν ἐργάσεται, οὔτε τὸ αἰσχρὸν καλὸν ἢ εὐειδές) τῇ δὲ ψυχῇ 10
Πρ. α. ιε. Λευ. ιε. μέλ. ἀνελευθέρως, ταχέως αὐτὴν αἰσχρὰν μελαίνης λευκὸν ἐργάσηται αἰσχρᾶς καὶ δυσειδοῦς καλὸν εὐειδῆ. ἡ δὲ ἐμὴ ὁ λόγος, ἀλλ' αὐτὸ τὸ Κυρίου ὅτω λέγοντος· Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἢ, Ὅταν ἐλεημοσύνην ἢ πάντα ὑμῖν ἔσται καθαρά. οὐ σαυτὴν ὁ μισῶν, ἀλλὰ τὴν ἀδελφὴν ὅταν ζημιοῦσαν καλὸν ποιήσεις. διὰ γὰρ 15
τοῦτο τὸν κόσμον τοῦτον ἀπολαμβάνεις, ἵνα πολλὴν ἐξεις δαπάνης αἰτίαν· οὐκ ἔχοντες ὁ πλουτεῖν ὁ πᾶσης, ἢ εἰς ἐλεημοσύνην ἔσονται εὐχερέστερον, ἢ ὑμᾶς ὁ αὐχῶν δυνήσεται μὴ πορνείας συμβουλεύειν τὰ δεινά. νῦν μὲν γὰρ πᾶσαν πόρνην ἀπωθεῖσθε τὴν τοιαύτην ἐξοικίσαι. πῶς γὰρ σώματι αὐτῇ προσελεύσεσθε; ποίοις ὀφθαλμοῖς ἀντιβλέψετε ἐλεημοσύνην ἀπαιτοῦσαν τὸν ἄνδρα, ὅταν τὰ πλείονα εἰς τὴν τοῦ σώματος περιβολὴν ἀναλίσκητε; τότε δυνήσῃ μὴ πόρνην ἀπελέγξαι τῷ ἀνδρὶ τῷ ἐλεημοσύνης, ὅταν τὸν κόσμον τὸν χρυσοῦν ἀπῇς. καὶ μὴν ἐκεῖνος, ὃ σαυτὸν ἐπλήρωσας ἀπὸν· μᾶλλον 20
α. Κορ. ζ. ιε. ὁ ἀμύχανον μὴ ἢ ἐκεῖνον κερδᾶναι, ἐμοῦ τὸν περασμάτων αὐτὸν ἀπελευθέρου. Τίνα γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις, ὥσπερ οἶμαι καὶ ἢ σαυτῆς ἢ ἐκεῖνον δαπάνης τὸν λόγον, ἵνα, ἐὰν τὸν φιλοτιμίαν ἢ τὴν ἀπολαύσῃ πᾶσαν, διπλοῦν τὸ σέφανον ἕξεις, μὴ τὸν ἀνδρὸς περιφανοφορεῖσα ἢ πομπεύουσα καὶ τοῦ ἀκηράτου αἰῶνος ἐκείνης, καὶ τῶν αἰωνίων ἀπολαύουσα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλαν- 25
θρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. χ. αὐτῷ

χξ ιγ. Ομιλ. ο. 1 ΠΡΟ ΔΕ ΤΗΣ ΕΟΡΤΗΣ ΤΟΥ ΠΑΣΧΑ, ΕΙ-

δὼς ὁ Ἰησοῦς ὅτι ἦλθεν αὐτῷ ἡ ὥρα, ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπη- 30
σεν αὐτούς.

α. Κορ. ια. α. Ρωμ. η. γ. Ματθ. ια. κθ. Μιμηταί μου γίνεσθε, φησὶν ὁ Παῦλος, καθὼς κἀγὼ Χριστοῦ. διὰ γὰρ τοῦτο καὶ σάρκα ἐκ τοῦ φυράματος ἔλαβε τοῦ ἡμετέρου, ἵνα δι' αὐτῆς ἡμᾶς παιδεύσῃ τὸν ἀγεννῆ. Ἐνταῦθα ὁμοιώματι σαρκός, φησίν, ἁ- 35
μαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί. Ἐν αὐτοῖς ὁ Χριστὸς φησι· Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ ταῦτα οὐ βήματα μόνον, ἀλλὰ καὶ διὰ τῆς πρᾶξεως ἐδίδασκε. καὶ γὰρ καὶ Σαμαρείτιδι καὶ δαιμονιῶντι αὐτὸν ἐκάλεσε, καὶ πλανωμένοις, καὶ λί- 40
χ. ἀναλαβὼν, χνεσι ἡφίεσαν κατ' αὐτοῦ· καίτοι μὴ ἐκπρεπὲς ἀπεστέλλοι ⟨ἢ⟩ φανεισαῖεν, ὡς τε αὐτὸν συλ-
χ. ἀλλ' λαβεῖν, καὶ ὁ ἄλλος καὶ πέσαι ὑπὸ τοὺς λύκους· καὶ αὖθις πολλάκις ὑβριζόντων διεπλεύσω, καὶ ταῦτα διδάσκοντες ἐγκαλεῖν, ἀλλὰ καὶ ἐυεργετοῦμενοι διώκειν· καὶ ἐμοὶ μὲν πάντα τὰ ὄντα ἀφίσασιν αὐτοῖς ἐν πόνοις καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων. καὶ οἰκέτην δέ τινος ῥα-
πίσαντος αὐτὸν, φησὶν· Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς,

πῶ

χ. σεμνάται; τῆς ἀυτῆς τιμῆς; ἀλλ' ὁ μὲν Παῦλος φησι καὶ ἐνύστας ἐβάστασε καὶ τὸν μαθητὴν Βασιλίδην, τὸ δὲ θέλημα τοῦ Θεοῦ ὁ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον ὑπέρ γε τοῦτο ἐποίησατο ἕως ἐντολῆς ἔλαβε· καὶ πῶς δυνήσεσθε τοῦτο; ὁρᾶς ὅτι ἀπὸ τοῦ ἐντολὴν λαβεῖν τὴν ἀπονοίαν τὴν λεγομένην ἀφῆκε, καὶ κείνους ἐπαύσατο, ἐξὸν μὴ ποιῆσαι τοῦτο, ἀλλὰ καὶ ἐποίησε, διὰ τοῦτο τὸν αὐθέντην ἐβεβαίωσε φήσας ἐμὲ ποιῆσαι, ἵνα καὶ ὅταν φύσω, καὶ σὺ φυσᾷς ὁ ἐντολὴν τὴν λεγομένην, γνωρίζωσιν ὅτι ἀπὸ τῆς ἀκοῆς ἐστὶ τὸ λεγόμενον, ἀλλὰ τῆς τῶν ἀκουόντων ἀσθενείας.

50 Καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. ἃ οὖν λαλῶ, καθὼς εἶπέν μοι ὁ πατὴρ, οὕτω λαλῶ. Ὁρᾷς ὅτι οὐκ ἔστιν τὴν ἐξουσίαν, ὁ γὰρ ἐντολὰς λαβὼν, οὐκ ἔστιν ἑαυτῷ κύριος. καίτοιγε αὐτὸς φησιν· ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. εἶτα ἐγείραι μὲν ὃς θέλει ἐξουσίαν ἔχει ἐντολὴν λαβεῖν· ὁ δὲ βούλεται οὐκ ἐλέγχει, ὁ δὲν θέλει ἐπὶ τὴν ἀρχὴν τὸν οὐρανὸν, τοῦτ' ἔστιν· ὅπερ οὐκ ἔχω φησὶν ὃ τι χρήσωμαι ἑτέρῳ τῷ ἐξουσίαν λέγειν, ἐπειδὴ ἐμὲ φιλεῖσθαι. ἐγὼ οἶδα ὅτι ἡ ἐντολή μου ζωὴ αἰώνιός ἐστι. τοῦτο ἐκείνους ἐδύνατο πλουσίους αὐτοὺς λέγοντας, καὶ ὅτι λυμῆναι τοῦ ἔργου ἐγένετο τοῦτο εἶπεν. ὅταν γὰρ λέγῃ, ἐγὼ δύναμαι, μὴ εἰς τὴν ἀπωλείαν τὴν τῶν ἐναντίων ἀναπέσῃ αὐτόν. ἔμελλε γὰρ τὰ τῶν μονογενοῦς καὶ μόνου πατρὸς ἐπιδείκνυσθαι, ὅτι οὐδὲν ἐγὼ ὡς ἴδιον φέρομαι διελέγχων τοῦτο, ἀλλὰ πάντα ὡς τοῦ πατρός. καὶ ἐπὶ τοῦτο ἐλθὼν ἐπὶ τὰ ἐντάφια ἐκάλεσε τὸν Λάζαρον, ἵνα εἴπῃ, ὅτι ἵνα τέλειον ἐμαυτὸν ἀποδείξω ὑγιέστερόν σε ἀφῆκα φαίνεσθαι· ποιεῖ δὲ τοῦτο, καὶ ὅταν ἐπιτιμήσῃ τῷ ἀνέμῳ τοῦ ἐπιτιμῆσαι τὴν ὠμότητα. καὶ ὁ πατὴρ ἐν ἐμοὶ μένων τὰ ἔργα ποιεῖ. Οὐδὲν οἰκονομῶν τοιοῦτον λέγω, ὥστε ἐν ἐμοὶ πεπαῦσθαι τὸν λόγον. καὶ ὁ πατὴρ ἐν ἐμοὶ μένων τὰ ἔργα ποιεῖ, ἵνα μὴ ἐμοῦ δόξῃ, καὶ οὐκ ἀφῆκε με μόνον ὁ πατήρ. ὁρᾷς πῶς πάντα ἐστὶ ζωμημένον ἑαυτῷ τῷ πέμψαντι, ἐν οὐδὲν μέσον ἐστί; καὶ γὰρ ὅταν λέγῃ, ἀπ' ἐμαυτοῦ οὐκ ἐλάλησα, οὐ τῶν οὐσίαν ἀφαιρούμενος λέγει, ἀλλὰ δι' ἀλλότριον καὶ ὑφειμένον ἀνατίθησι. Εἰ δὲ ἀνθρωποι κύριοι ἑαυτῶν, πολλῷ μᾶλλον ὁ μονογενὴς ὑιός. καὶ ὅπου ἔστι ἀληθείας, ἐκεῖ καὶ ἐγὼ παρεῖναι φησὶν ὁ Παῦλος, ὅπου ἐκείνους ἐπαύσατο φιλονεικοῦντας, καὶ ἐνταῦθα ἐκείνους ἐλέγχει τοὺς φιλονεικοῦντας ἐκεῖ, ἵνα ὑπὲρ ἀληθείας ἐκλείπῃ.

Φεύγωμεν τοίνυν τὸ ἄθεμιτον καὶ τὸ ἀφ' ἑαυτοῦ λαλεῖν. ποικίλον γάρ ἐστι τὸ πάθος τοῦτο, καὶ πολυτρόπως ἐπιβουλεύει τοῖς ἀνθρώποις, καὶ ἐν δόξῃ, καὶ ἐν πλούτῳ, καὶ ἐν ἄλλοις τισί. ἀφ' ἑαυτοῦ τοίνυν λαλεῖ ὁ τὸν ἔπαινον τὸν παρὰ τῶν ἀνθρώπων ἀγαπῶν, ὁ τὴν ἐκ τῶν ἀνθρώπων δόξαν διώκων, ὁ τὴν ἐκ τῶν ἀνθρώπων ἡδονὴν ἐπιζητῶν, ὁ τὴν ἐκ τῶν ἀνθρώπων ὠφέλειαν ἀναζητῶν. ἀφ' ἑαυτοῦ λαλεῖ καὶ ὁ τὴν ἐκ τῶν ἀνθρώπων ἐπιθυμῶν ἐξουσίαν καὶ ἀρχή

σα, πάντας αὐτοὺς ἀδάμαντος ἐποίησε στερροτέρους. ἐπεὶ οὖν ὅτου ἰδοὺ ὁ κωλύει αὐτὸν πιστεῦσαι τότε, ἄκουσον τί φησιν.

44 Ὁ πιστεύων εἰς ἐμέ, οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς Ⓦ πέμψαντά με.

Ὡσανεὶ ἔλεγε, τί διεδίκασε πιστεῦσαι εἰς ἐμέ; εἰς Ⓦ Θεὸν ἡ πίστις διαβαίνει δι' ἐμοῦ, ὥστερ οὖν καὶ ἡ ἀπιστία. ὅρα πῶς διαβὰς πάντων τὸ ἀνωμαλώτατον δείκνυσι τῆς οὐσίας. καὶ οὐκ εἶπεν, ὁ πιστεύων ἐμοί, ἵνα μή τις εἴπῃ, ὅτι τῷ ῥήματι ἔνεκεν ἔλεγεν, ὃ καὶ ἐπ' ἀνθρώπων δυνατὸν ἰδεῖν εἰπεῖν. ὁ γὰρ τοῖς ἀποστόλοις πιστεύων, οὐκ αὐτοῖς πιστεύει, ἀλλὰ τῷ Θεῷ. ἀλλ' ἵνα μάθῃς, ὅτι ὥσπερ τῆς εἰς τὴν οὐσίαν πίστεως αὐτὸ φησιν, οὐκ εἶπεν, ὁ πιστεύων μοι τοῖς ῥήμασιν, ἀλλ' ὁ πιστεύων εἰς ἐμέ. καὶ διαβαμοῦ, φησι, εἶπεν αὐτηρότερον· ὁ πιστεύων εἰς Ⓦ πατέρα, οὐκ εἰς Ⓦ πατέρα πιστεύει, ἀλλ' εἰς ἐμέ; ὅτι εἶπεν ἄν, ἰδοὺ ἡμεῖς πιστεύομεν εἰς Ⓦ πατέρα, καὶ εἰς σὲ οὐ πιστεύομεν. καὶ γὰρ ἀσθενέστερον ἔπι διέκειτο. τοῖς γοῦν μαθηταῖς διαλεγόμενος οὕτως εἶπε· Πιστεύετε εἰς τὸν Θεόν, καὶ εἰς ἐμὲ πιστεύετε. τούτους δὲ ἀσθενεστέρους ὁρῶν τοιαῦτα ἀκούσαι ῥήματα, ἄλλως διαλέγεται, δεικνὺς ὅτι οὐκ ἔστι πιστεύσαι τῷ πατρὶ, μὴ πιστεύσαντας εἰς αὐτόν. καὶ ἵνα μὴ νομίσῃς ὅτι ὡς ἐπ' ἀνθρώπου εἴρηται, ἐπάγει· Ioan. ιδ. α.

45 Ὁ θεωρῶν ἐμέ, θεωρεῖ τὸν πέμψαντά με. Τί οὖν; σῶμά ἐστιν ὁ Θεός; οὐδαμῶς. θεωρείαν γὰρ, τὴν τοῦ νοῦ φησιν ἐνταῦθα, καὶ σύνεσιν τὴν ἀκριβεστάτην δηλοῖ. καὶ τί ἐστιν, ὁ πιστεύων εἰς ἐμέ; ὡς ἂν εἴποι τις· ὁ τὸ τοῦ ποταμοῦ διαιροῦμενον ὕδωρ, καὶ ὃ τὸ ποταμὸν, ἀλλὰ τὸ τὴν πηγὴν λαμβάνει. μᾶλλον δὲ καὶ αὐτὴν ἐπ' ἀνθρώπου ἐνέγκασα εἰκὼν ὡρος τὸ προσκείμενον. Εβρ. α. γ.

46 Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα. Ἐπειδὴ γὰρ ὁ πατὴρ τὸ πάντα καλεῖται πάντα χοῦ τὸ τῇ παλαιᾷ καὶ τῇ καινῇ, καὶ αὐτῷ κέχρηται τῷ ὀνόματι. ὅρα τοῦτο καὶ Παῦλος ἀπαύγασμα αὐτὸ καλεῖ, σύνεσιν μαθών. καὶ πολλαχοῦ δείκνυσιν ἐνταῦθα τὸ πρὸς τὸν πατέρα συγγένειαν τὸ σοφὸν καὶ μέσον, εἴγε τὴν εἰς αὐτὸν πίστιν, μὴ εἰς αὐτὸν, ἀλλ' εἰς ἐκεῖνον διαβαίνειν φησί. φῶς δ' ἑαυτὸν καλεῖ, διὰ τὸ τῆς πλάνης ἀπαλλαττειν, καὶ τὸ νοητὸν λύειν σκότος. 47 Καί τίς μου μὴ ἀκούσῃ, ἐγὼ οὐ κρίνω αὐτόν. οὐ γὰρ ἦλθον ἵνα κρίνω Ⓦ κόσμον, ἀλλ' ἵνα σώσω Ⓦ κόσμον. Ἵνα γὰρ μὴ νομίσωσιν ὅτι διὰ ἀσθένειαν τοῦτο καταφρονοῦντας πρόσταγμα, διὰ τοῦτο εἶπε τό, οὐκ ἦλθον ἵνα κρίνω Ⓦ κόσμον. Εἶτα, ἵνα μὴ ῥᾳθυμότερον περὶ ταύτην ἔχωσι, μαθόντες ὅτι ὁ πιστεύων σώζεται, ὁ δὲ ἀπιστῶν κολάζεται, ὅρα πῶς αὐτοῖς καὶ φοβερὸν ἐπέστησε διαιτητήριον, ἐπάγων τὸ λέγειν· 48 Ὁ ἐμὲ ἀθετῶν, καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν. Εἰ ὁ πατὴρ οὐδένα κρίνει, καὶ σὺ οὐκ ἦλθες ἵνα κρίνῃς τὸν κόσμον, τίς αὐτὸν κρίνει; Ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτόν. Ἐπειδὴ γὰρ ἔλεγεν, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, τοῦτό φησιν, ὅτι οὐ τότε δυνήσονται ταῦτα λέγειν, ἀλλὰ τὰ ῥήματα, ἃ ἐλάλησα νῦν, ἐν ταῖς χερσὶ κατηγόρου, ἐλέγχοντα αὐτοὺς καὶ πᾶσαν ἀκατάσχετον ἀπολογίαν. καὶ ὁ λόγος ὃν ἐλάλησα. ποῖος λόγος;

49 Ὅτι ἀπ' ἐμαυτοῦ οὐκ ἐλάλησα· ὅτι ὁ πέμψας με πατὴρ, ἐκεῖνός μοι ἔδωκεν ἐντολὴν, τί εἴπω καὶ τί λαλήσω, Καὶ ὅσα τοιαῦτα ἑτέρωθι. ἆρα ταῦτα διὰ αὐτοὺς ὅτως ἔλεγεν, ἵνα μηδεμίαν ἔχωσιν ἀπολογίας πρόφασιν. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, τί Ησαΐας πλέον εἶχε; καὶ γὰρ ἐκεῖνος ὃ αὐτὸ τοῦτό φησι· Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι καιρὸν ἐν εἰπεῖν λόγῳ. τί δὲ Ἰερεμίου; καὶ γὰρ ἐκεῖνος, ὅτε ἐπέμπετο, ἐνεπέφυε. τί δὲ Ησ. ν. δ. Ιεζεκιήλ; καὶ γὰρ καὶ τοῦτο τὴν κεφαλίδα καταφαγών, ὅτως ἐφθέγγετο. ἄλλως δέ, ὑπερβησονται μέλλοντες ἀκούειν ὅσπερ ἔλεγον, αἴτιοι τῆς γνώσεως ὕστερα αὐτοῖς. εἰ γὰρ ὅτε ἐπέμπετο, ἐνετείλατο τότε ἔλεγε, τί εἴπῃ, λοιπὸν ἔρρει ὅτι ἐν καιρῷ ἡ πεμφθεῖσα οὐκ ἤδει. καὶ εἰ τούτων ἀσεβέστερον τὸ ῥήμα, εἰ ὅτως αὐτὰ λέγοιτο, ἐν μὴ καταμαθοῦσι τῆς ἀπιστότητος Ιζ. γ. α.

τος

ϗ ἐπὶ τῶν φιλονεικούντων πρὸς τὸ Θεοῦ λόγους ϗ. ἰδίωμα γ' ϗ τοῦτο τῆς γραφῆς· ὡς ἐπὶ τοῦ, Παρέδωκεν εἰς ἀδόκιμον νοῦν, ἐπὶ ὃ, ἀπίναι με τοῖς ἔθνεσι· τοῦτ' ἔστι, Συνεχώρησεν, ἀφῆκεν. οὐχὶ γὰρ ἐνεργεῖται αὐτὰ ὑπ' αὐτοῦ Εἰσάγλ, ἀλλ' ἐκ τῆς ἑτέρων πονηρίας τοῦτα γινόμενα δείκνυσιν. ὅταν γὰρ ἐγκαταλειφθῶμεν ὑπὸ τοῦ Θεοῦ, παραδιδόμεθα τῷ ἰδίῳ ἑαυτῶν θελήματι· τῇ γὰρ βολῇ τῇ παραδοθείσῃ, μυρία παέρχεται δεινά. Φοβοῦ τοίνυν ⓦ ἀκροατὴ φησὶ, ἐσκλήρυνε ϗ πρέδωκεν. ὅτι γὰρ αὐτὸς οὐ μόνον οὐ παραδίδωσι, ἀλλ' οὐδὲ ἐγκαταλιμπάνει, ἐὰν μὴ βιασθῶμεν, ἄκουσον τί φησιν· Οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διιστῶσι δυὰ μέσον ἐμοῦ ϗ ὑμῶν; ϗ πάλιν, Οἱ μακρύνοντες ἑαυτοὺς ἀπόλουνται, ἀπολοῦνται. ὁ δὲ Ὡσηέ φησιν· Ἐπιλάβηται νόμου Θεοῦ σου, ὅπως ἐπιλήσωμαί σου κἀγώ. καὶ αὖ πάλιν ὁ αὐτὸς ἐν τοῖς εὐαγγελίοις· Ποσάκις ἠθέλησα ὅπως συναγαγεῖν τὰ τέκνα ὑμῶν, ϗ οὐκ ἠθελήσατε; ϗ ὁ Ησαΐας ὁ πάλιν, Ηλθον, ϗ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, ϗ οὐκ ἦν ὁ ὑπακούσομαι. Ταῦτα δὲ λέγω, δεικνὺς ἡμᾶς ἀρχομένους τῆς ἐγκαταλείψεως, ϗ αἰτίους γινομένους τῆς ἀπωλείας. ὁ γὰρ Θεὸς οὐ μόνον οὐ καταλιπεῖν θέλει κολάσαι βουλόμενος, ἀλλ' ϗ ὅταν κολάζει, μὴ θέλων αὐτὸ ποιεῖ. Οὐ βούλομαι γάρ, φησι, ⓦ θανάτον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ὑπερβάλλον ϗ ζῆν αὐτόν. ὁ δὲ Χριστὸς ϗ ἐπὶ τῆς καταφορᾶς Ἱερουσαλὴμ δακρύει, οὐ μόνον ὅτι φίλων ποιοῦμαι.

Ησ. ιθ. β. Ψαλ. κζ. Ωσ. δ. ε. Λουκ. ιγ. λδ. Ησ. ν. β. Ιεζεκ. ιη. λβ.

Ταῦτ' οὖν εἰδότες, πάντα παρατρέπωμεν ὥστε μὴ ἀφεῖναι τοῦ Θεοῦ, ἀλλ' ἐχώμεθα τῆς ϗ ψυχικῆς ὑπερβολῆς ϗ τῆς πρὸς ἀλλήλους ἀγάπης, καὶ μηδὲν παρατρέπωμεν ἡμῶν τὰ μέλη (τοῦτο γὰρ μανιωδῶν καὶ ὀξυηκότων ἐστὶν) ἀλλ' ὅσῳ αἱ κακῶς ἐξακουσθεῖσαι ἐδωρήν, θεραπεύσωμεν μᾶλλον. καὶ γὰρ καὶ ἐν τοῖς σώμασι πολλοὺς πολλάκις ὁρῶμεν δυσπαθοῦντας καὶ ἐξηρεθισμένους καὶ αἰσθανομένους, καὶ δ' παυόμενα ὅπως πρὸς τοὺς φάρμακα. τί γὰρ ποδαλγίας χεῖρες; ἢ τί χειρὸς πόδες; ἀρ' οὖν ἀποκόπτωμεν τὰ κῶλα; ἀδαμῶς· ἀλλὰ πάντα ποιοῦμεν ὥστε ἀπαλλαγῆναι τοῦ κακοῦ δυσαλύτου. τοῦτο καὶ ἐπὶ τῶν ἀδελφῶν ποιῶμεν· καὶ, ἂν ἀνίατα νοσῶσι, μυρίως θεραπεύοντες, καὶ βαστάζωμεν ἀλλήλων τὰ βάρη. ὅταν γὰρ πληρώσωμεν ⓦ νόμον τὸν Χριστοῦ, καὶ τυχόμεθα τῆς ἐπαγγελίας ἀγαθῶν, χαίρει ϗ φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

Χ. ἀπολλυμένων ἢ Ιερουσαλὴμ χρυσοῦν, ὁ ϗ Χ. ὅσῳ μᾶν.

Χ. πολλά

Ομιλ. ξθ. 42 ΟΜΩΣ ΜΕΝΤΟΙ ΚΑΙ ΕΚ ΤΩΝ ΑΡΧΟΝ-

των πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται. 43 Ηγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἢ τὴν δόξαν τοῦ Θεοῦ.

Χ. τῶν τοῦ Θεοῦ.

Αντα μὲν φεύγει ὁμοίως πάντων ἀναγκαίως ϗ τὴν ψυχικὴν διαφθείρει· τὰ πάντα· πολλῷ γ' πλέον ἐκεῖνα ϗ πολλὰ καὶ δι' ἑαυτὴν πείθοντα ἁμαρτήματα· ἵνα δὲ λέγω, ἡ φιλαργυρία. ἔστι μὲν οὖν καθ' ἑαυτὸ δεινὸν τὸ κακόν· πολλῷ γ' ϗ χαλεπώτερον, ὅτι ῥίζα καὶ μήτηρ ὅτι πάντων τῶν κακῶν. διοῦτον καὶ ἡ κενοδοξία. ἰδοὺ γοῦν καὶ ὅταν τῆς πίστεως διὰ ⓦ τῆς δόξης ἀπήρασαν ἔρωτα. πολλοὶ γάρ, φησι, καὶ ἐκ τῶν ἀρχόντων ἐπίστευσαν εἰς αὐτόν· διὰ γ' τοὺς Ιουδαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· ὅπερ οὖν καὶ αὐτὸς ἐμῶζεν ἐλέγχων, Πῶς δύνασθε πιστεῦσαι, δόξαν παρ' ἀλλήλων λαμβάνοντες, ϗ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; οὐκ ἀρα ἄρχοντες ἦσαν, ἀλλὰ δῆλοι δηλεῖαν τὴν ἐκάστου πλοῦν· διὰ καὶ οὗτος ὑστέρησεν ἐλυθη ὁ φόβος. οὐδαμοῦ γὰρ ἐπὶ τῶν ἀποστόλων ὁρῶμεν τοῦτο κατεχόμενος ὦ παῦ. καὶ γὰρ ἄρχοντες ἐπ' ἐκείνων ἐπίστευσαν καὶ ἱερεῖς. ἡ γὰρ τοῦ πνεύματος χάρις ἐλεύθε-

Ρομ. α. κη.

λιν βπίσας, ὃ αὖθ' τοῦτο πεῖσ. ϗ διλωεχῶς ἴδοι τις ἀῦ ὕτω ποικίλοντα τὴν διδασκαλίαν, πρυσία, ἀποισία, ζαπεποῖς, ὑψηλοὶς λόγοις· ὃ ϗ ἐν ζαῦθα πεποίηκε. τοσαῦτα ϗ αὐτ' σημεῖα πεποιηχότος, οὐκ βπίστευον εἰς αὐτόν, φησιν,

38 Ινα πληρωθῇ ὁ λόγος Ησαΐου, ὃν εἶπε· Κύριε, τίς βπίστευσε τῇ ἀκοῇ ἡμῶν; ϗ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; Καὶ πάλιν 39 Οὐκ ἠδύναντο, φησι, πιστεύειν, ὅτι εἶπεν Ησαΐας· 40 τετύφλωκε αὐτῶν τοὺς ὀφθαλμοὺς, ϗ πεπώρωκε αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, ϗ νοήσωσι τῇ καρδίᾳ, ϗ ἐπιστρέψωσι, ϗ ἰάσομαι αὐτούς. 41 Ταῦτα ϗ εἶπεν, ὅτι εἶδε τὴν δόξαν αὐτοῦ ϗ ἐλάλησε περὶ αὐτοῦ. Ἰδοὺ πάλιν ὃ, ὅπερ, ϗ εἶπεν, οὐχὶ αἰτιολογίας, ἀλλ' ἐκβάσεως. Οὐδὲ ϗ ὅτι εἶπεν Ησαΐας, οὐκ βπίστευον· ἀλλ' ὅτι οὐκ ἔμελλον πιστεύειν, διὰ τοῦτο εἶπεν Ησαΐας. τί οὖν οὐχ οὕτως ὁ εὐαγγελιστὴς λέγει, ἀλλὰ τὴν ἀπιστίαν ἀπὸ τῆς προφητείας, ὡς τὴν προφητείαν ἀπὸ τῆς ἀπιστίας εἰ) φησι· ϗ πρεσβύτερον, σφοδρότερον τοῦτο αὐτὸ τίθησι, οὕτω λέγων, διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι εἶπεν Ησαΐας· οὐτωσὶ προδηλῶσαι διὰ πολλῶν βούλε) τὸ τῆς γραφῆς ἀψευδές· ἐπὶ ὅσαν προεφήτευσεν, οὐχ ἕτερος ἀξίωσε, ἀλλ' ὡς εἶπεν. ἵνα γὰρ μὴ τις λέγῃ, ϗ τίνος ἕνεκεν ἦλθεν ὁ Χριστός; οὐκ ἤδει ὅτι οὐκ ἔμελλον αὐτῷ πιστεύειν; ϗ σὺ προφήτας εἰσάγει τοῦτο εἰδότας. ἦλθε ϗ, ἵνα προφασιν μὴ ἔχωσι περὶ τῆς ἁμαρτίας αὐτῶν. ἃ γὰρ προεφήτευσεν ὁ προφήτης, ὡς πάντως ἐσόμενα προεφήτευσεν. εἰ γὰρ μὴ πάντως ἔμελλεν ἔσεσθαι, οὐκ ἂν προεῖπε· πάντως ϗ ἔμελλεν ἔσεσθαι, ὅπερ αἰνίττεται

ἐπὶ σφαγὴν ἤχθη λέγων, ᾗ πάλιν ἑξῆς ἅπτωται· ᾗ ὁ Δαβὶδ ἐν τῷ δευτέρῳ ψαλμῷ, καὶ ἄλλαχοῦ πολλαχοῦ σωπᾷ περὶ ταῦτα ἀμφότερα. ᾗ ὁ πατριάρχης ᾗ εἰπών, ἀναπεσὼν ἐκοιμήθη ὡς λέων, ἐπήγαγε· Καὶ ὡς σκύμνος λέοντος, τίς ἐγερεῖ αὐτόν; ἐμοὶ γὰρ ὁ πάππος ᾗ τ' ἀνέβαινε, καὶ ἀναπεσὼν ἐκοιμᾶτο. Gen. μθ. θ. Num. κδ. θ.

ἀνάγκη δὲ ἐνταῦθα καὶ τὴν ἀπόκρισιν ἐπιθεῖναι τοῖς λεγομένοις. Τί οὖν ὁ Χριστὸς; Ἐπισημαίνων αὐτοῖς δεικνὺς, ὅτι ὁ πάντος τοῦ κόσμου κύριος ἐν τῷ αἰῶνα μένει. Τὰ δὲ ὅσα πῶς κακουργοῦσι, οὐ γὰρ εἶπον, ὅτι ἡμᾶς ἠκούσαμεν ὅτι ὁ Χριστὸς οὐδὲν παθεῖται, οὐδὲ σωθήσεται, ἀλλ' ὅτι μένει εἰς τὸν αἰῶνα. κἂν τοῦτο δὲ εἰρημένον ἐπαπορήσειέ τις. τῇ γὰρ ἀθανασίᾳ τὸ πάντος οὐκ ἐναντίον κώλυμα. ἐπειδήπερ ἐστὶν ἰδεῖν, ὅτι πολλὰ τῶν ἀμφιβόλων ζωΐσεται, καὶ ἑκόντες ἐκακούργησαν. ὥσπερ γὰρ ἐφθη τοῖς θαύμασι θεραπεύσας ἀνθρώπους, ἀκούσαντες τὸ ὑψωθῆναι ἐπαύσατο, τοιοῦτον καὶ ἐνταῦθα, τοῦτο ἀκούσαντες σωθήσονται. Εἶτα λύσεις· Τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; τὸ τοῦτο κακουργοῦσι. μὴ γὰρ δὴ νομίσῃς, φησὶν, ὅτι περὶ σοῦ τοῦτο λέγεται, καὶ εἴπῃς ὅτι δι' ἀπάθειαν ἐπαπορούμεθα. ἴσθι γὰρ οὐκ οἶδα μὲν περὶ τίνος λέγεις, καὶ ὅμως ἀποφαινόμεθα. Τί οὖν ὁ Χριστός; Ἐπισημαίνων αὐτοῖς τὸ δεικνὺς, ὅτι τὸ πάντος οὐδὲν κώλυμα τοῦτο τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα,

35 Ἔτι, φησὶ, μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστί. Δηλονότι, ὅτι ὁ θάνατος αὐτοῦ μεσιτεύσας ἐστί. καὶ γὰρ τὸ φῶς τὸ ἡλιακὸν οὐκ ἀναιρεῖται, ἀλλὰ μικρὸν ὑποχωρήσαν πάλιν φαίνεται. Περιπατεῖτε, ἕως τὸ φῶς ἔχετε. Ποῖον ἐπαύδα λέγει καιρόν; ἆρα τὸν πρόσθεν ζωὴν ἅπασαν, ἢ τὸν περὶ τὸ σταυροῦ χρόνον; ἔγωγε οἶμαι ἀμφοτέρους. διὰ γὰρ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν, πολλοὶ μὲν τὸν σταυρὸν ὑπέστειναν. λέγει δὴ ταῦτα κατανεύων αὐτοῦ εἰς τὴν πίστιν, ὅπερ καὶ δυνατώτερον πεποίηκεν, ὅτω λέγων, Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι. Ioan. ζ. λγ.

Ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ, οὐκ οἶδε ποῦ ὑπάγει.

Πόσα χρὴ τοὺς Ἰουδαίους νῦν παρατηρεῖσθαι, καὶ οὐκ ἴσασι τί παρατηροῦσι, ἀλλ' ὡς ἐν σκότει, ὅτω βαδίζοντες; δικαιοῦσι μὲν τὴν ὁρθὴν ὁδεύειν ὁδὸν, τὴν δ' ἐναντίαν βαδίζουσι, σαββατον κατηχοῦντες, καὶ νόμου φυλάττοντες, καὶ βρωμάτων παρατηροῦσι, καὶ οὐκ ἴσασι ποῦ περιπατοῦσι. Διὰ τοῦτο ἔλεγε· ἴσ. περιῶσι,

36 Περιπατεῖτε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε, Τουτέστιν, ἐμοὶ υἱοί. καίτοι οὐ παρεσομένοις φησὶν ὁ εὐαγγελιστὴς, Ὅτι οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν, τουτέστι, τοῦ πάντος· ἐνταῦθα δὲ αὐτοὺς λέγεται τούτοις γεννᾶν, ἵνα μάθῃς, ὅτι μία ἐνέργεια πάντος καὶ υἱοῦ. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, καὶ ἀπελθὼν ἀπ' αὐτῶν, ἐκρύβη. Νῶν τί κρύπτεται; οὐδὲ γὰρ λίθους ἦραν κατ' αὐτοῦ, οὐδὲ ἐβλασφήμησάν τι τοιοῦτον, οἷς ἐμπροσθεν. ἵνος οὖν ἕνεκεν ἐκρύβη; ἵνα καρδίας ἐμβαπύνων ἤδη τὸν θυμὸν αὐτοῖς ἀγειάρωνται, εἰ καὶ μηδὲν ἐφθέγγοντο· ἠδὴ ζέοντα δὲ φονῶντα, καὶ οὐ μεμένηκεν ὥστε εἰς ἔργον ἐξελθεῖν, ἀλλὰ κρύπτεται, παραμυθούμενος αὐτῶν τὸν φόβον. ὅρα γοῦν πῶς αὐτὸν ἠνίξατο ὁ εὐαγγελιστής. διὰτοῦτο γὰρ ἐπήγαγε· Ioan. ι. λ. Ioan. ι. κα. Ioan. ιι. ν. Ioan. ς. κζ. χ. ἐλλ'

37 Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος, οὐκ ἐπίστευον εἰς αὐτόν. Ποῖα τοσαῦτα; ὅσα παρέλιπεν ὁ εὐαγγελιστής. Τὰ δὲ οὐκ ἐν τῷ μὴ ταῦτα δὲ τοῦτο δῆλον. ᾗ γὰρ ἀναχωρήσας ᾗ ἐνδυσάμενος, ᾗ ἐπορεύθη πάλιν ὑφειμένως αὐτοῖς διαλέγεται, ὅτω λέγων· Ὁ πιστεύων εἰς ἐμὲ, ᾗ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με. ὅρα γὰρ τί ποιεῖ. ἄρχεται ἀπὸ ταπεινῶν καὶ ζωοποιεῖν λύειν, καὶ καταφθάνει εἰς τὸν πατέρα· εἶτα πάλιν ἐνάγει τὸν λόγον. καὶ ὅταν ἴδῃ οὐκ ἀπειλουμένους ἀναχωρεῖ, καὶ πάλιν ἐφίσταται, καὶ ἀπὸ ταπεινῶν παρεισμιαίνεται πάλιν. καὶ ποῦ τοῦτο ἐποίησε; ποῦ γὰρ οὐκ ἐποίησεν; ὅρα γοῦν τὴν ἀρχὴν ἣν φησὶ Καθὼς ἀκούω, κρίνω. εἶτα ὑψηλότερον· Ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, ὅτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. πάλιν, Ἐγὼ δὲ κρίνω ὑμᾶς, ἄλλος ἐστὶν ὁ κρίνων. εἶτα διαχωρεῖ πάλιν. εἶτα ἐπιστὰς τῇ Γαλιλαίᾳ, Ἐρωτᾷ, φησὶ, μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην. καὶ εἰπὼν τοῦτο αὐτὸ μεγάλα, οὐκ ἐκ τοῦ οὐρανοῦ καταβέβηκεν, οὗτι ζωὴν αἰώνιον δίδωσι, πάλιν διαχωρεῖ. καὶ τῇ σκηνοπηγίᾳ πάλιν

32 Καὶ ἐγὼ ἐὰν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Τυπίοι, ἢ τοὺς ἐξ ἑαυτῶν. Ἵνα μὴ ὡς εἶπεν, πῶς βλασφήσεται οὗτος, εἰ μὴ σταυρωθήσεται; λέγει, οὐ σταυρωθήσεται· πῶς γὰρ, τοῦ μὴ ζῶντος ἄλλους ἕλκοντος; ἢ οὐ λέγει τὸν ἀνάστασιν, ἀλλ' ὁ τῆς ὑψώσεως πλέον ὄντι, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Εἰ μὲν γὰρ εἶπεν, ὅτι ἀναστήσομαι, οὔπω ἦλθεν ὅπ ἢ πίστωσις· τῷ δὲ εἰπεῖν, ὅτι πίστευσουσιν, ἀμφότερα ζωαποδείκνυται, ὅτι καὶ ἀναστήσεται. Εἰ γὰρ νεκρὸς ἔμενε, καὶ ψιλὸς ἀνθρωπος ἦν, οὐδεὶς ἂν ἐπίστευσε. πάντας ἑλκύσω πρὸς ἐμαυτόν. πῶς δῶν φησιν, ὅτι ὁ πατὴρ ἕλκει; ὅτι, μοῦ ἕλκοντος, πατὴρ ἕλκει. ἑλκύσω δέ, φησιν, ἀπὸ τυράννου καταχθονίους, καὶ ἀφ' ἑαυτῶν μόνων οὐ δυναμένους πρόσελθεῖν καὶ τὰς ἐκείνου χεῖρας διαφυγεῖν, ἅτε δυτικοῦντος. ἀλλαχοῦ δὲ τοῦτο ἁρπαγὴν καλεῖ. Οὐδεὶς δύναται τὰ σκεύη τοῦ ἰσχυροῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρὸν, καὶ τότε τὰ σκεύη αὐτοῦ διαρπάσῃ. Ταῦτα ἦ ὃ βίαιον αὐτοῦ πρᾶγμα ἔλεγεν. ὅπερ δῶν ἐκεῖ ἁρπαγὴν, ἐνταῦθα ἕλξιν ἐκάλεσε. Matth. ιβ. κθ.

